www.tezaurliturgic.ro

# 13 OCTOMBRIE
# HARALAMBOS BOUSIA

# SLUJBA
# SF.MUCENIŢE
# AGATONICA
# DE LA PERGAM

# MINEIUL-GR


Ο ΑΓΙΟΣ ΚΑΡΠΟΣ ΕΠΙΣΚΟΠΟΣ
Η ΑΓΙΑ ΑΓΑΘΟΝΙΚΗ

# Ἀκολουθία Μάρτυρος ΑΓΑΘΟΝΙΚΗΣ καὶ τῶν σύν αὐτῇ

## Ψαλλομένη τῇ 13η Ὀκτωβρίου

## ΕΝ ΤΩ͂ ΜΙΚΡΩ͂ ΕΣΠΕΡΙΝΩ͂

Ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν Στιχηρά Προσόμοια. Ἦχος δ΄. Ἔδωκας σημείωσιν.

Μάρτυς ἀκατάβλητε, Ἀγαθονίκη πανεύφημε, ἐν σταδίῳ ἠρίστευσας, καὶ λάτρεις κατῄσχυνας, λίθων ἀναισθήτων, σῇ στεῤῥᾷ ἐνστάσει, σὺν ξυνωρίδι ἰατρῶν, τοῦ σοῦ ὁμαίμου, Παπύλου μάκαρος, καὶ Κάρπου, Ἀρχιποίμενος, τῶν Θυατείρων ἀλκίφρονος,μεθ’ ὧν χαίρεις ἀείποτε, οὐρανίοις ἐν δώμασιν.

Στῦλοι ἀδιάσειστοι, τῆς Ἐκλησίας τοῦ Κτίσαντος, τῆς Περγάμου βλαστήματα, μετὰ τὸ μαρτύριον, τοῦ Ἀγαθοδώρου, μέσῳ ἐν σταδίου, ὡμολογήσατε Χριστὸν, καὶ δι’ ἀγάπην Αὐτοῦ ἠθλήσατε, Ἀγαθονίκη πάγκαλε, σὺν Κάρπῳ τῷ Ἀρχιποίμενι, καὶ Παπύλῳ ἀλκίφρονι, τῷ σεπτῷ αὐταδέλφῳ σου.

Τμῆσιν καθυπέμεινας, Ἀγαθονίκη, τῆς κάρας σου, πεπλησμένη φρονήματος, ἀνδρῴου συμμάρτυρας, ἔχουσα γενναίους, ἰατῆρα Κάρπον, τῶν Θυατείρων εὐκλεῆ, Πρωθιεράρχην, καὶ θεῖον Πάπυλον, σὸν ἔνδοξον αὐτάδελφον, σὺν οἷς εὐκλείας

τῆς κρείττονος,ἀπολαύεις ἐν δώμασιν, αἰωνίου λαμπρότητος.

Φλόγα καθυπέμεινας, καμίνου πρὸ ἀποτμήσεως, τοῦ τιμίου αὐχένος σου, δυσὶ σὺν συνάθλοις σου, ὡς ἐν Βαβυλῶνι, Παῖδες τρεῖς τὸ πάλαι, Ἀγαθονίκη θαυμαστή, Παπύλῳ θείῳ, καὶ Κάρπῳ σώφρονι, καὶ σὺν αὐτοῖς μετ' ἄθλησιν, Ἀγαθοδώρου ἀνέδραμες,ὑπαντῆσαι Νυμφίῳ σου, οὐρανίῳ, καλλίνικε.

Δόξα. Ἦχος β'.

Τὴν ἀξιέραστον καλλιμάρτυρα ἐγκωμιάσωμεν, Ἀγαθονίκην, τὴν ἀήττητον ἐν σταδίῳ, ὡς γυναικῶν ἀνδρείων καλλώπισμα, ἐν ἀγαλλιάσει αὐτῇ βοῶντες· στεφηφόρε στίβου πρώταθλε, μὴ παύσῃ σὺν Ἀγαθοδώρῳ, Παπύλῳ καὶ Κάρπῳ, τοῖς ἀλκίφροσι συνάθλοις σου Χριστῷ πρεσβεύουσα, ὑπὲρ τῶν τιμώντων ἐν ὕμνοις, τὴν πανσεβάσμιον μνήμην σου.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν πᾶσαν ἐλπίδα μου...

Εἰς τόν Στίχον. Ἦχος β'. Οἶκος τοῦ Ἐφραθᾶ.

Χαῖρε, ἡ ἀδελφὴ, τοῦ Μάρτυρος Παπύλου, σεμνὴ Ἀγαθονίκη, στεῤῥοῦ Ἀγαθοδώρου, καὶ Κάρπου θείου σύναθλε.

Στ. *Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι καί εἰσήκουσεν τῆς φωνῆς τῆς δεήσεώς μου.*

Χαῖρε, ἡ κεφαλῆς, Ἀγαθονίκη, τμῆσιν, διὰ Χριστοῦ ἀγάπην,σοῦ ποθεινοῦ Νυμφίου, εὐτόλμως ὑπομείνασα.

Στ. *Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατεύθυνε τὰδιαβήματά μου.*

Ἤθλησας εὐσθενῶς, σὺν Κάρπῳ καὶ Παπύλῳ, Ἀγαθονίκη Μάρτυς, μετὰ τὴν ἐν σταδίῳ, Ἀγαθοδώρου ἄθλησιν.

Δόξα. Τριαδικόν.

Δόξα Σοι, ὁ Θεός, ὁ στεφοδότης πάντων, τῶν εὐσταλῶν Μαρτύρων, Τριὰς Ὑπεραγία, ὑπέρχρονε καὶ σύνθρονε.

Καὶ νῦν. Θεοτοκίον.

Χαῖρε, Μῆτερ Θεοῦ, ἡ πάντας ἐλεοῦσα, τοὺς μεγαλύνοντάς Σε,μελίσμασιν εὐτάκτοις, ἀπαύστως καὶ οἰκτίρουσα.

Νῦν ἀπολύεις, Τρισάγιον, Ἀπολυτίκιον. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Τὴν ἀθλήσασαν πίστει ἐγκωμιάσωμεν, σὺν αὐταδέλφῳ Παπύλῳ, καὶ Κάρπῳ τοῖς ἰατροῖς, καὶ αὐχένος ὑπομείνασαν ἀπότμησιν, Ἀγαθοδώρου τοῦ στεῤῥοῦ, μετ' ἐνάθλησιν λαμπράν,ἀνδρείαν Ἀγαθονίκην, τὴν δεομένην Κυρίου, ὑπὲρ ἡμῶν τοῦ Παντοκράτορος.

Θεοτοκίον.

Χαῖρε, πύλη Κυρίου ἡ ἀδιόδευτος...

Ἀπόλυσις.

# ΕΝ ΤΩ ΜΕΓΑΛῼ ΕΣΠΕΡΙΝῼ

Εὐλογήσαντος τοῦ Ἱερέως ὁ Προοιμιακὸς καί τὸΜακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ' καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια· Ἦχος α'. Τῶν οὐρανίων Ταγμάτων.

Ἀγαθονίκην ὀλβίαν, ἀνευφημήσωμεν, τὴν ἀθληφόρον ὕμνοις, σὺν τῷ Ἀγαθοδώρῳ, Παπύλῳ, ἰατῆρι τῷ θαυμαστῷ, καὶ σεπτῷ Ἀρχιποίμενι, τῶν Θυατείρων, καὶ Μάρτυρι θαυμαστῷ, Κάρπῳ ὄντως τῷ ἀλκίφρονι.

Ἀγαθονίκη ἀνδρείως, τοὺς λίθους σέβοντας, ἐνίκησας καὶ κάρας,καθυπέμεινας τμῆσιν, σεπτῆς σου δι' ἀγάπην τοῦ Λυτρωτοῦ, καὶ ὡραίου Νυμφίου σου, Οὗ ἀπολαύεις τοῦ κάλλους νῦν τῆς μορφῆς, τοῦ ἀῤῥήτου, ἀθληφόρητε.

Ἐν διωγμῷ τοῦ Δεκίου, ὁμοῦ ἠθλήσατε, βλαστήματα Περγάμου, καὶ εἰλήφατε στέφη, χρυσόπλοκα θεόθεν ὡς ἀριστεῖς, στίβου, Κάρπε καὶ Πάπυλε, Ἀγαθοδώρῳ σὺν μάρτυρι θαυμαστῷ, καὶ Ἀγαθονίκῃ ἔμφρονι.

Συγκληρονόμους ἐν πόλῳ, ἔχεις συνάθλους σου, ἐν γῇ, Ἀγαθονίκη, Ἀγαθόδωρον πάνυ, Ποιμένα Θυατείρων τὸν εὐκλεῆ, Κάρπον τὸν παναοίδιμον, καὶ σὸν ὁμαίμονα, Πάπυλον τὸν στεῤῥόν, καλλιμάρτυς χαριτόβρυτε.

Ὑπὲρ στυγνῶν φονευτῶν σου, ὡς εὐσυμπάθητος, προσευχομένη, Μάρτυς, τῷ Κυρίῳ σὸν πνεῦμα,

παρέδωκας Νυμφίῳ σῷ ἱερῷ, μετὰ σῆς κάρας ἔκτμησιν, Ἀγαθονίκη, Ἀγγέλων σεπτοῖς χοροῖς, αἰωνίως συναγάλλεσθαι.

Τὴν σὴν πανίερον μνήμην, πανηγυρίζοντες, λαμπρῶς, Ἀγαθονίκη, ἀνυμνοῦμεν σοὺς ἄθλους, οὓς ἔτλης ἐν σταδίῳ διὰ Χριστὸν, σὺν Παπύλῳ ὁμαίμῳ σου, Κάρπῳ Ποιμένι πανσόφῳ καὶ ἰατρῷ, καὶ Ἀγαθοδώρῳ Μάρτυρι.

Δόξα. Ἦχος πλ. β΄.

Βαλεριανοῦ προστάξει, τοῦ τὰ εἴδωλα σέβοντος, ἀδίκως ἀποκτανθεῖσαν σὺν Κάρπῳ, Παπύλῳ καὶ Ἀγαθοδώρῳ, Ἀγαθονίκην τιμήσωμεν τὴν πανεύφημον, ὡς ἀνδρείας καὶ πίστεως εὐωδέστατον ὀσφράδιον, ἐν κατανύξει λέγοντες· ἡ ἀριστεύσασα ἐν σταδίῳ καὶ Χριστοῦ τὸ κράτος μεγαλύνασα, ὡς κληρονόμος ἀτελευτήτου μακαριότητος, μὴ παύσῃ πρεσβεύουσα τῷ Κυρίῳ τῆς δόξης, ὑπὲρ τῶν τιμώντων τὴν σὴν πανσεβάσμιον ἄθλησιν.

Καὶ νῦν. Θεοτοκίον.

Τίς μὴ μακαρίσει Σε, Παναγία Παρθένε,....

Εἴσοδος, Φῶς ἱλαρόν, Προκείμενον τῆς ἡμέρας, Ἀναγνώσματα.

Παροιμιῶν τὸ Ἀνάγνωσμα (Κεφ. λα΄ 10-31).

Γυναῖκα ἀνδρείαν τίς εὑρήσει; Τιμιωτέρα δὲ ἐστι λίθων πολυτελῶν ἡ τοιαύτη. Θαρσεῖ ἐπ' αὐτῇ ἡ καρδία τοὺ ἀνδρὸς αὐτῆς, ἡ τοιαύτη καλῶν σκύλων οὐκ

ἀπορήσει. Ἐνεργεῖ γὰρ τῷ ἀνδρὶ ἀγαθὰ πάντα τὸν βίον. Μηρυομένη ἔρια καὶ λίνον, ἐποίησεν εὔχρηστον ταῖς χερσὶν αὐτῆς. Ἐγένετο ὡσεὶ ναῦς ἐμπορευομένη μακρόθεν, συνάγει δὲ αὕτη τὸν βίον. Καὶ ἀνίσταται ἐκ νυκτῶν καὶ ἔδωκε βρώματα τῷ οἴκῳ καὶ ἔργα ταῖς θεραπαίναις. Θεωρήσασα γεώργιον ἐπρίατο ἀπὸ δὲ καρπῶν χειρῶν αὐτῆς, κατεφύτευσε κτῆμα. Ἀναζωσαμένη ἰσχυρῶς τὴν ὀσφὺν αὐτῆς, ἤρεισε τοὺς βραχίονας αὐτῆς εἰς ἔργον. Ἐγεύσατο ὅτι καλόν ἐστι τὸ ἐργάζεσθαι καὶ οὐκ ἀποσβέννυται ὅλην τὴν νύκτα ὁ λύχνος αὐτῆς. Τοὺς πήχεις αὐτῆς ἐκτείνει ἐπὶ τὰ συμφέροντα, τὰς δὲ χεῖρας αὐτῆς ἐρείδει εἰς ἄτρακτον. Χεῖρας δὲ αὐτῆς διήνοιξε πένητι, καρπὸν δὲ ἐξέτεινε πτωχῷ. Οὐ φροντίζει τῶν ἐν οἴκῳ ὁ ἀνὴρ αὐτῆς, ὅταν ποὺ χρονίζῃ· πάντες γὰρ οἱ παρ’ αὐτῆς ἐνδεδυμένοι βύσσου καὶ πορφύρας ἑαυτῇ ἐνδύματα. Περίβλεπτος δὲ ἐγένετο ὁ ἀνὴρ αὐτῆς ἐν πύλαις, ἡνίκα ἂν καθίσῃ ἐν συνεδρίῳ μετὰ τῶν γερόντων κατοίκων τῆς γῆς. Σινδόνας ἐποίησε καὶ ἀπέδοτο τοῖς Φοίνιξι, περιζώματα δὲ τοῖς Χαναναίοις. Ἰσχὺν καὶ εὐπρέπειαν ἐνεδύσατο καὶ εὐφράνθη ἐν ἡμέραις ἐσχάταις.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα (Κεφ. μγ΄ 9 - 14).

Τάδε λέγει Κύριος. Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα; Ἢ τὰ ἐξ ἀρχῆς τίς ἀκουστὰ ποιήσει ὑμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ

δικαιωθήτωσαν καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες καὶ ἐγὼ μάρτυς, λέγει Κύριος ὁ Θεός καὶ ὁ παῖς μου, ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητε καὶ συνῆτε ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός καὶ μετ' ἐμὲ οὐκ ἔσται. Ἐγὼ ὁ Θεός καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα καὶ οὐκ ἦν ἐν ὑμῖν Θεὸς ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες καὶ ἐγὼ Κύριος ὁ Θεός. Ἔτι ἀπ' ἀρχῆς ἐγώ εἰμι καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος· ποιήσω καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος τοῦ Ἰσραήλ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. γ' 1 - 9).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσιν καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ

πεποιθότες ἐπ' Αὐτῷ, συνήσουσιν ἀλήθειαν καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν Αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς Ὁσίοις Αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς Αὐτοῦ.

Εἰς τήν Λιτήν, Ἰδιόμελα.

Ἦχος α'.

Τὴν ἐκλεκτὴν ἀμνάδα τοῦ Παναγάθου Κυρίου, τὴν νικήσασαν τοὺς λάτρεις τῶν εἰδώλων, καὶ μεγαλύνασαν εὐσεβείας τὸ κράτος, Ἀγαθονίκην τὴν πάνσεμνον εὐφημήσωμεν, ὡς ἀθληφόρον ἀήττητον οὕτω λέγοντες· ἡ ἀκολουθήσασα βήμασιν Ἀγαθοδώρου, καὶ συναθλήσασα Παπύλῳ καὶ Κάρπῳ, ἀριστεῖς ἡμᾶς ἐν μάχαις ἀνάδειξον, κατὰ τοῦ πονηροῦ πολεμήτορος, καὶ σῶσον ἐκ θανάτου εὐχαῖς σου τὰς ψυχὰς ἡμῶν.

Ἦχος β'.

Ὡς ἐκ τετραφώτου λυχνίας, Περγαμηνοὶ Μάρτυρες, φαίνει πάσῃ τῇ οἰκουμένῃ ἡ σὴ ἀνδρεία, αὐγαῖς τῶν σῶν κατορθωμάτων, καὶ ἀκτῖσι τῆς σῆς εὐτολμίας καὶ παῤῥησίας, Ἀγαθονίκη, Ἀγαθόδωρε, Κάρπε καὶ Πάπυλε· ἀπολαύοντες οὖν τοῦ ἀδύτου φέγγους, τοῦ οὐρανίου στερεώματος, φωτίσατε ἡμῶν τὰς τρίβους, καὶ ὡδηγήσατε ἡμῶν τὴν ζωὴν, πρὸς τὴν ἀνέσπερον μακαριότητα.

Ἦχος γ'.

Ἐστεμμένη διαδήματι χρυσοπλόκῳ μαρτυρικῆς παῤῥησίας,καὶ ἐνδεδυμένη χιτῶνα ἀθλητικὸν ἀφθίτου

ἀγαλλιάσεως, εἰσῆλθες εἰς παστάδα οὐράνιον, Ἀγαθονίκη πολύαθλε· ὡς οὖν εὑροῦσα πολλὴν πρὸς Ὕψιστον παῤῥησίαν, μὴ παύσῃ Αὐτῷ πρεσβεύουσα ὑπὲρ πάντων τῶν φιλομαρτύρων, καὶ ἡμῶν ἐξαιρέτως τῶν νῦν ἐπιτελούντων ἐν ᾄσμασι, τὴν λαμπρὰν καὶ πανέορτον μνήμην σου.

Ἦχος δ΄.

Τὸ ὄνομα τοῦ σοῦ ἐπουρανίου Νυμφίου εὐλαβῶς προφέρουσα, πρὸς μαρτυρίου ἐχώρησας σκάμματα, καὶ τρόπαιον ἤγειρας πίστεως περιφανέστατον, Ἀγαθονίκη καρτερόψυχε· ὅθεν εὐκλείας ἠξιώθης ἀῤῥήτου, σὺν Ἀγαθοδώρῳ, Κάπρῳ καὶ Παπύλῳ, τοῖς συνάθλοις σου, καὶ χάριτος πρεσβεύειν Κυρίῳ, ὑπὲρ τῶν τιμώντων τὴν πανσεβάσμιον μνήμην σου.

Δόξα. Ὁ αὐτός.

Παριδοῦσα τὴν ἀσθένειαν τῆς φύσεως, ἀνδρικῷ φρονήματι ἐνήθλησας ὑπὲρ ἔννοιαν, σὺν Ἀγαθοδώρῳ, Παπύλῳ καὶ Κάρπῳ,Ἀγαθονίκη, καλλιμάρτυς θεοτίμητε· ὅθεν τὴν μνήμην σου πανευλαβῶς ἑορτάζοντες, καὶ τὰς ἀριστείας σου μεγαλύνοντες, τὰς εὐχάς σου πρὸς Κύριον ἐκδεχό-μεθα, τὸν δωρούμενον ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Ἐκ παντοίων κινδύνων τοὺς δούλους Σου...

Εἰς τὸν Στίχον. Ἦχος πλ. α΄. Χαίροις, ἀσκητικῶν.

Χαίροις, Ἀγαθονίκη ἀμνὰς, εὐπρεπεστάτη τοῦ Θεοῦ Παντοκράτορος, θησαύρισμα εὐσεβείας, καὶ ἀριστείας εἰκών, ἡ ἐν τῷ σταδίῳ, ἀριστεύσασα, καὶ στέφος χρυσόπλοκον, δεξαμένη καὶ ἄφθαρτον, ἀξίως νίκης, τῶν εἰδώλων ὡς σύντριμμα, καὶ τῆς πίστεως, πολύτιμον κόσμημα· ὅθεν σε ὕμνοις στέφοντες, μετὰ τῶν συνάθλων σου, Ἀγαθοδώρου γενναίου, Κάρπου, σεπτοῦ Ἀρχιποίμενος, καὶ σοῦ αὐταδέλφου, οὐρανό-φρονος Παπύλου, σὲ μακαρίζομεν.

Στ. *Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι καί εἰσήκουσεν τῆς δεήσεώς μου.*

Χαίροις, ἡ πανολβία τετρὰς, τῶν τῆς Περγαμου ἀθλητῶν, ἡ ἀήττητος, στεῤῥόφρον Ἀγαθονίκη, λαμπὰς ἀνδρείας φαιδρά,Πάπυλε γενναῖε, φάρε πίστεως, διάκοσμε τίμιε, ἰατήρων καὶ πρόβολε, τῶν μεγαλάθλων, χαίροις, Κάρπε θειότατε, ποιμασίᾳ σου,ὁ εὐφράνας Θυάτειρα, καὶ λύχνε παμφαέστατε, ψυχῆς ὡραιότητος,καὶ καρτερίας ἐν πόνοις, μαρτυρικοῖς, Ἀγαθόδωρε, τετράκτινον σέλας, χαῖρε, τόλμης τὸ φωτίζον, τοῦ κόσμου πέρατα.

Στ. *Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατεύθυνε τὰ διαβήματά μου.*

Μνήμην, Ἀγαθονίκη, τὴ σὴν, ἐν εὐλαβείᾳ ἑορτάζοντες σήμερον,οἱ δῆμοι φιλομαρτύρων, ἀθλητικὴν ἀγωγὴν, σοῦ ἀξιοχρέως μεγαλύνομεν, καὶ πόθῳ γεραίροντες, ἣν ἐπέδειξας δύναμιν, πρὸ τῶν

τυράννων, ὕμνων ῥαίνομεν ἄνθεσι, τοὺς συνάθλους σου, εὐσταλῆ Ἀγαθόδωρον, Κάρπον τὸν ἱερώτατον, καὶ Πάπυλον ἔνδοξον, τῶν ἰατρῶν ἀκρεμόνα, καὶ σοῦ γενναῖον αὐτάδελφον, μεθ᾽ ὧν συγχορεύεις, ἐν σκηνώμασι παμφώτοις, τῆς ἄνω πόλεως.

Δόξα. Ἦχος πλ. δ΄.

Ὁρῶν Βαλεριανὸς τὴν παῤῥησίαν σου, καὶ μὴ φέρων σῆς ψυχῆς εὐσθένειαν, εἰς βασάνους, Ἀγαθονίκη, παρέδωκέ σε ἀνυποίστους, εἰς κάμινον πυρὸς ἔῤῥιψέ σε καιομένην, καὶ εἰς τὸν διὰ μαχαίρας κατεδίκασέ σε θάνατον· μαρτυρικὴν ὅθεν περιβεβλημένη ἁλουργίδα, ἀπῆλθες σὺν Κάρπῳ, Ἀγαθοδώρῳ καὶ Παπύλῳ,Χριστῷ ὑπαντῆσαι εἰς πόλον δόξης, τῷ παρέχοντι εὐχαῖς σου ἡμῖν τὸ ἄμετρον ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Δέσποινα, πρόσδεξαι....

Νῦν ἀπολύεις, Τρισάγιον, Ἀπολυτίκιον. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Τὴν ἀθλήσασαν πίστει ἐγκωμιάσωμεν, σὺν αὐταδέλφῳ Παπύλῳ καὶ Κάρπῳ, τοῖς ἰατροῖς, καὶ αὐχένος ὑπομείνασαν ἀπότμησιν, Ἀγαθοδώρου τοῦ στεῤῥοῦ μετ᾽ ἐνάθλησιν λαμπράν,ἀνδρείαν Ἀγαθονίκην, τὴν δεομένην Κυρίου, ὑπὲρ ἡμῶν τοῦ Παντοκράτορος.

Θεοτοκίον.

Χαῖρε, πύλη Κυρίου ἡ ἀδιόδευτος...

Ἀπόλυσις.

# ΕΝ ΤΩ ΟΡΘΡΩ

Μετὰ δὲ τὴν α΄ Στιχολογίαν, Κάθισμα. Ἦχος α΄. Τὸν τάφον Σου, Σωτήρ.

Παπύλου ἰατροῦ, τὴν αὐτάδελφον ὕμνοις, καὶ σύναθλον αὐτοῦ, ἅμα Κάρπου ἀλκίμου, τιμήσωμεν σήμερον, εὐσεβῶν τὰ συστήματα, πόθῳ κράζοντες· Ἀγαθονίκη, δυσώπει, τὸν Νυμφίον σου, σὺν θείῳ Ἀγαθοδώρῳ, ὑπὲρ τῶν τιμώντων σε.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Ἀφράστως ἐν γαστρὶ, δεξαμένη ἁγνῇ Σου, τὸν Λόγ ον τοῦΘεοῦ, καὶ Θεὸν μὴ ἐλλείπῃς, Αὐτὸν ἱκετεύουσα, ὑπὲρ πάντων ἐνᾀσμασι, Μητροπάρθενε, μεγαλυνόντω ν τὸ πλῆθος, θαυμασίων Σου,καὶ ἀρωγήν Σου ἑτοίμην , πρὸς πάντας τοὺς δούλους Σου.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ἐν ὕμνοις τιμήσωμεν, Ἀγαθονίκην σεμνήν, ἀθλήσασαν ἄριστα,ὑπὲρ Χριστοῦ τοῦ Θεοῦ, σὺν Κάρπῳ ἀλκίφρονι, θείῳ Ἀγαθοδώρῳ,καὶ Παπύλῳ ἐνδόξῳ, κράζοντες· Ἀθληφόρε, ἡ αἰσχύνασα λάτρεις,εἰδώλων, εὐσεβείας λαμπρὸν, τρόπαιον ἤγειρας.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Ἡμῶν δίδου πάντοτε, κατ᾽ ἀοράτων ἐχθρῶν, τοῦ ἔθνους νεότητι, νίκας, Παρθένε ἁγνή, Πανύμνητε Δέσποινα, ἥνπερ αὐτὸς πειράζει, ἀκλινῶς καὶ

σκοτίζει, θέλων αὐτὴν ἰθῦναι, εἰς αἰώνιον σκότος, καὶ κόλασιν φρικτήν, Ἀγαθὴ, Θεογεννήτρια.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα. Ἦχος γ΄. Τὴν ὡραιότητα.

Νίκης φερώνυμον, Χριστοῦ τῆς πίστεως, ἐγκωμιάσωμεν, τὴν συναθλήσασαν, Ἀγαθοδώρῳ τῷ σεπτῷ, Παπύλῳ καὶ Κάρπῳ θείῳ,ὡς σταδίου πρώταθλον, καὶ εἰδώλων τῶν λάτρεων, ἥττημα κραυγάζοντες· Καλλιμάρτυς ἀήττητε, εὐχαῖς σου πέμψον πᾶσι θεόθεν, σθένος ἡμῖν, Ἀγαθονίκη.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Τὴν σκοτισθεῖσάν μου, ψυχὴν καταύγασον, φωτὶ τῆς χάριτος, τοῦ θείου Τόκου Σου, ἁγνὴ Παρθένε, Μαριάμ, ἐλπὶς τῶν ἀπηλπισμένων, καὶ ἀχλὺν ἀπέλασον, τῶν ἀπείρων πταισμάτων μου, ὅπως εὕρω ἔλεος, ἐν τῇ ὥρᾳ τῆς Κρίσεως, καὶ πόθῳ ἀσιγήτως βοῶ Σοι· χαῖρε, ἡ Κεχαριτωμένη.

Οἱ Ἀναβαθμοί· τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκείμενον. *Ὑπομένων ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι.*

Στ. *Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου καὶ κατηύθυνε τὰ διαβήματά μου.*

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Μᾶρκον. Τῷ καιρῷ ἐκείνῳ ἠκολούθει τῷ Ἰησοῦ ὄχλος πολὺς καὶ συνέθλιβον

αὐτόν.... (Ζήτει τῇ Δευτέρᾳ τῆς ιε' ἑβδομάδος Ματθαίου).

Ὁ Ν' (50) Ψαλμός.

Δόξα. Ταῖς τῆς Ἀθληφόρου...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β'. Στ. *Ἐλέησόν με, ὁ Θεός,...*

Προθύμως τὴν χωρήσασαν πρὸς μαρτύριον, σὺν Κάρπῳ καὶ Παπύλῳ, μετ' ἄθλησιν Ἀγαθοδώρου, τιμήσωμεν Ἀγαθονίκην τὴν πανεύφημον, ἐν εὐλαβείᾳ κραυγάζοντες· ἡ τοῦ Παναγάθου Θεοῦ νύμφη, νίκης βαΐα ἐν χερσὶ φέρουσα, καὶ εὐκλείας ἀξιωθεῖσα οὐρανίου, Χριστόν, τὸν σὲ δοξάσαντα, ἡμῖν ἱλέωσαι, τοῖς τιμῶσιν ἐν ὕμνοις τὴν ἀεισέβαστον μνήμην σου.

Οἱ Κανόνες· τῆς Θεοτόκου καὶ τῆς Ἀθληφόρου, οὗ ἡ ἀκροστιχίς· *Ἀγαθονίκῃ καὶ αὐτῆς συνάθλοις αἶνος. Χ.*

Ὠδὴ α'. Ἦχος δ'. Ἀνοίξω τὸ στόμα μου.

Ἀγάθυνον τάχιον, τοῖς σὲ ἀεὶ μακαρίζουσιν, ὡς Μάρτυρα ἔνδοξον, Ἀγαθονίκη κλεινή, καὶ κατάπεμψον, θεόθεν σοῦ Νυμφίου, ἡμῖν καὶ Παντάνακτος, πλούσιον ἔλεος.

Γαυρίαμα ἄνομον, τῶν λατρευόντων τὰ εἴδωλα, ἐνστάσει ἐπάτησας, Ἀγαθονίκη, τῇ σῇ, καὶ τὸν στέφανον, τῆς Μάρτυρος ἐδέξω, χειρῶν ἐκ Νυμφίου του, τὸν ἀμαράντινον.

Ἀνδρείως ἐνήθλησας, τυραννικοῦ πρὸ τοῦ βήματος, μετὰ τὸ μαρτύριον, Ἀγαθοδώρου στεῤῥοῦ, σὺν συνάθλοις σου, σεμνὴ Ἀγαθονίκη, Παπύλῳ, ὁμαίμῳ σου, καὶ Κάρπῳ ἔμφρονι.

Θεοτοκίον.

Θεοῦ Μῆτερ Ἄχραντε, εὐλογημένη Παντάνασσα, θεόθεν τοὺς δούλους Σου, ἐπευλογοῦσα ἀεὶ, καὶ στηρίζουσα, ἐν βίῳ μὴ ἐλλείπης, ὡς ἄγαν φιλάνθρωπος, καὶ εὐσυμπάθητος.

Ὠδὴ γ΄. Τοὺς Σοὺς ὑμνολόγους.

Ὁμαίμονος σύναθλος Παπύλου, ὑπάρχουσα θείου ἰατροῦ, καὶ Κάρπου ἀρχιποίμενος, τῶν Θυατείρων, ἔνδοξε, Κυρίῳ εὐηρέστησας, Ἀγαθονίκη, ἀθλήσει σου.

Νικήσασα λάτρεις τῶν εἰδώλων, Θεοῦ παναγάθου εὐκλεής,Ἀγαθονίκη, πέφηνας, ἀμνὰς καὶ παναμώμητος, καὶ στεφηφόρος ἔδραμες, Αὐτοῦ πρὸς θεῖα σκηνώματα.

Ἰσχὺν εἰληφυῖα οὐρανόθεν, καθεῖλες τὴν δύναμιν ἐχθρῶν, καὶ μιμούμενη σκάμματα, Ἀγαθοδώρου ἤθλησας, σὺν Κάρπῳ Ἀρχιποίμενι, καὶ τῷ Παπύλῳ, ὁμαίμῳ σου.

Θεοτοκίον.

Κινήσεις κατάστειλον σαρκίου, τοῦ δούλου Σου, Δέσποινα Ἁγνή, καὶ πτέρωσον τὸ φρόνημα, νοός μου πρὸς ἐκζήτησιν, τῆς χάριτος τοῦ Τόκου Σου, τοῦ παναγίου, Μητρόθεε.

Κάθισμα. Ἦχος γ΄. Θείας πίστεως.

Δεῦτε μέλψωμεν Ἀγαθονίκην, τὴν καλλίνικον Χριστοῦ ἀμνάδα,ἐναθλήσασαν μετὰ τὸ μαρτύριον, Ἀγαθοδώρου σὺν Κάρπῳ στεῤῥόφρονι, καὶ τῷ Παπύλῳ αὐτῆς τῷ ὁμαίμονι, πόθῳ κράζοντες· σεμνὴ ἀθληφόρε, ἔνοικε,τοῦ πόλου, χαῖρε, Μάρτυς ὡς πανάριστος.

Δόξα. Τὸ αὐτό. Καὶ νῦν. Θεοτοκίον.

Εὐσυμπάθητε Θεογεννῆτορ, καταφύγιον τῶν τρυχομένων, καὶ ἁπάντων ἱερὸν παραμύθιον, τῶν θλιβομένων, ἐπάκουσον δούλων Σου, θερμῶν δεήσεων, Μῆτερ, καὶ ἄνωθεν, πέμψον ἅπασιν ἐν ὕμνοις Σε μακαρίζουσιν,χαρὰν καὶ ἄμφω δύναμιν, Πανύμνητε.

Ὠδὴ δ΄. Ὁ καθήμενος ἐν δόξῃ.

Ἡ σεμνὴ Ἀγαθονίκη, εἰσελθοῦσα εἰς κάμινον, τὴν πεπυρωμένην, σὺν Παπύλῳ ἄψυχα εἴδωλα, πανευσθενῶς ἐμυκτήριζε καὶ Κύριον, πάσης κτίσεως, καθωμολόγει τὸν Εὔσπλαγχνον.

Καρτερῶς, Ἀγαθονίκη, κεφαλῆς σου ἀπότμησιν, χαίρουσα ἐδέξω, σὺν Παπύλῳ, τῷ αὐταδέλφῳ σου, καὶ Θυατείρων Ποιμένι, Κάρπῳ σώφρονι, σὺν οἷς μέτοχος, ἐγένου ἄνω λαμπρότητος.

Ἀριστείας ἐν σταδίῳ, χρυσοποίκιλτον στέφανον, εἴληφας ὡς Μάρτυς, πρώταθλος ἐν στίβῳ ἀθλήσεως, Ἀγαθονίκη, καὶ ἔδραμες ὡς ἔλαφος, τῷ Νυμφίῳ σου, Χριστῷ ἀεὶ συναγάλλεσθαι.

Θεοτοκίον.

Ἰθυνόν με πρὸς σκηνώσεις, οὐρανῶν, Μητροπάρθενε, τῷ προσπίπτοντί Σοι, καὶ ὡς ἀπλανῆ μεγαλύνοντι, χειραγωγῷ Σε ἰθύντειραν τῶν δούλων Σου, πρὸς τελείωσιν, τῆς ἀρετῆς, Παντευλόγητε.

Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.

Ἀθλήσεως σκάμματα, Ἀγαθονίκη, ἤνυσας, εὐσθενῶς καὶ ἤνεγκας γενναίως, τῆς κεφαλῆς σου, τῆς ἱερᾶς ἐκτομήν, Νυμφίος ἣν ἔστεψεν ὁ σὸς, στέφει ἀφθαρτότητος, καλλιμάρτυς πολύαθλε.

Ὑμνοῦντες μαρτύριον, τὸ σὸν καὶ τῶν συνάθλων σου,Κάρπου τε Παπύλου καὶ τοῦ θείου, Ἀγαθονίκη, Ἀγαθοδώρου στεῤῥοῦ, Νυμφίον δοξάζομεν τὸν σόν, σὲ ἀντιδοξάσαντα,ἀφθαρσίᾳ, πολύαθλε.

Τομὴν τοῦ αὐχένος σου, ὑπέμεινας, ἀοίδιμε, Μάρτυς τοῦ Χριστοῦ Ἀγαθονίκη, Περγάμου γόνε, Παπύλου τοῦ ἰατροῦ,αὐτάδελφε καὶ περικλεὲς, τοῦ σταδίου πρώταθλε, ἡ τυχοῦσα θεώσεως.

Θεοτοκίον.

Ἡγίασε μήτραν Σου, τὴν πάναγνον, Πανύμνητε, Κεχαριτωμένη Θεοτόκε, ὁ καταδείξας, ἁγιασμοῦ ποταμὸν, ἀείῤῥυτον Σὲ Λόγος Θεοῦ, καὶ Σωτὴρ τῆς κτίσεως, Μητροπάρθενε Δέσποινα.

Ὠδὴ στ΄. Τὴν θείαν ταύτην.

Σὲ φιλεόρτων οἱ σύλλογοι, σεμνὴ Ἀγαθονίκη, γεραίροντες, ὡς καλλιμάρτυρα, ταῖς σαῖς εὐχαῖς καταφεύγομεν, ἐν κλύδωσι τοῦ βίου,πρὸς τὸν Θεάνθρωπον.

Σὺν τοῖς ἐνδόξοις συνάθλοις σου, Παπύλῳ ἰατρῷ, αὐταδέλφῳ σου, Κάρπῳ ἀλκίφρονι, Ἀγαθονίκη θεότιμε, καὶ τῷ Ἀγαθοδώρῳ,δόξης ἐπέτυχες.

Ὑπὲρ Κυρίου ἐνήθλησας, ἀγάπης καὶ εἰδώλων κατῄσχυνας,λάτρεις ἐνστάσει σου, καὶ ἐκτομῇ τοῦ αὐχένος σου, Ἀγαθονίκη Μάρτυς, ἀνδρείας ἔκτυπον.

Θεοτοκίον.

Ναὲ Θεοῦ ἀχειρότευκτε, Παρθένε Παναγία, τοὺς δούλους Σου,Σὲ μεγαλύνοντας, ναοὺς ἀγάπης τῆς κρείττονος, ἀνάδειξον, ἁγνείας,καὶ ἀγαθότητος.

Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.

Ἀγαθονίκην καλλιμάρτυρα τιμήσωμεν, Ἀγαθοδώρου ἑπομένην ἐν τοῖς σκάμμασι, θείαν σύναθλον Παπύλου, τοῦ ἰατῆρος, καὶ τοῦ Κάρπου, Θυατείρων Ἀρχιποίμενος, ὡς ἀμνάδα ἐκλεκτὴν καὶ παναμώμητον, Κτίστου κράζοντες· χαίροις, Μάρτυς πανεύφημε.

Ὁ Οἶκος.

Ἄγγελοι οὐρανόθεν ἐξεπλάγησαν, Μάρτυς, σεμνὴ Ἀγαθονίκη, ἰδόντες τῆς ψυχῆς σου ἀνδρείαν

πολλὴν καὶ τὴν προθυμίαν πρὸς τομὴν κάρας σου, διὰ Χριστοῦ ἀγάπησιν καὶ ἔψαλλον σὺν φιλεόρτοις·

Χαῖρε, Περγάμου ὁ θεῖος γόνος·
χαῖρε, σταδίου Μαρτύρων εὖχος.
Χαῖρε, ἰατῆρος Παπύλου αὐτάδελφος·
χαῖρε, τοῦ Σωτῆρος Χριστοῦ νύμφη πάγκαλος.
Χαῖρε, γέρας θείας πίστεως καὶ εἰδώλων συντριμμός·
χαῖρε, σέλας ἀγαθότητος καὶ σεμνότητος φανός.
Χαῖρε, τῆς εὐσεβείας ὁ πολύτιμος ὄλβος·
χαῖρε, τῆς Ἐκκλησίας εὐωδέστατον ἄνθος.
Χαῖρε, στεῤῥῶν γυναίων καλλώπισμα·
χαῖρε, λαμπρῶν Μαρτύρων ἀπαύγασμα.
Χαῖρε, ἡ σύναθλος ἔμφρονος Κάρπου·
χαῖρε, ἡ πάνσοφος Νύμφη Κυρίου·
Χαίροις, Μάρτυς πανεύφημε.

Συναξάριον.

Τῇ ιγ΄ τοῦ αὐτοῦ μηνός, μνήμη τῆς Ἁγίας Μάρτυρος Ἀγαθονίκης καὶ τῶν σὺν αὐτῇ ἀθλησάντων, Κάρπου, Παπύλου καὶ Ἀγαθοδώρου.

Στίχοι.

*Παναγάθου Θεοῦ ἐκ χειρὸς στέφος*
*νίκης ἔλαβες, Ἀγαθονίκη Μάρτυς.*

Ταῖς αὐτῆς ἁγίαις πρεβείαις, Χριστέ, ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

## Ὠδὴ ζ'. Οὐκ ἐλάτρευσαν.

Ἀγαθότητος, ταμεῖον ἀδαπάνητον, ἀνδρείας σκήνωμα, καὶ λαμπηδὼν ἀρετῆς, ἐνήθλησας ἄριστα, σὺν τοῖς συνάθλοις σου, καὶ ἐπάτησας, τὸ ἐπηρμενον φρύαγμα, τῶν ἐχθρῶν, Ἀγαθονίκη.

Θείας πίστεως, Ἀγαθονίκη, κύμινον, τερπνόν, καθήδυνας,ἀθλητικῆς ἀγωγῆς, ὀδμαῖς σου τὰ σύμπαντα, νῦν μεγαλύνοντα, τοὺς ἀγῶνάς σου, οὓς ἔτλης ὑπὲρ πίστεως καὶ ἀγάπης σοῦ Νυμφίου.

Λάτρεις ᾔσχυνας, εἰδώλων τῇ ἐνστάσει σου, καὶ εὐηρέστησας,Χριστῷ σῷ σθένει ψυχῆς, Παπύλου αὐτάδελφε, καὶ Κάρπου σύναθλε, ἡ βαδίσασα, Ἀγαθοδώρου βήματα, θαυμαστά, Ἀγαθονίκη.

Θεοτοκίον.

Οἱ προστρέχοντες, ἑκάστοτε Σῇ χάριτι, οὐκ αἰσχυνόμεθα,Θεογεννῆτορ Σεμνή, ἀλλὰ συμπαθείας Σου, δόσεις λαμβάνομεν, καὶ ἐκπλήρωσιν, πρὸς ψυχικὴν ὠφέλειαν, τῶν δικαίων αἰτημάτων.

## Ὠδὴ η'. Παῖδας εὐαγεῖς.

Ἴθυνας, σεμνὴ Ἀγαθονίκη, μαχαίρας πρὸς τὴν ἀκμὴν σὰ διαβήματα, καὶ τομὴν ὑπέμεινας, κεφαλῆς τιμίας σου, σὺν Κάρπῳ, Ἀρχιποίμενι, τῷ γενναιόφρονι, καὶ σοῦ τῷ αὐταδέλφῳ Παπύλῳ, μετ' Ἀγαθοδώρου, μαρτύριον τὸ θεῖον.

Σέλας παμφαέστατον ἀνδρείας, ἐφώτισας οἰκουμένην εὐτολμίας σου, ἀστραπαῖς,

χριστόφιλε, Μάρτυς ἀκατάβλητε,Ἀγαθονίκη ἔνδοξε, Παπύλου σύναθλε, καὶ Κάρπου, Θυατείρων Ποιμένος, καὶ Ἀγαθοδώρου, σταδίου ἀριστέων.

Αἴγλῃ θείᾳ περιβεβλημένη, ἀνῆλθες, Ἀγαθονίκη, πρὸς σκηνώματα, πόλου συνευφραίνεσθαι, ταῖς ἀΰλοις τάξεσι, καὶ εὐκλεῶν συνάθλων σου, χοροῖς, πανεύφημε, Παπύλῳ, σῷ ὁμαίμονι, Κάρπῳ, καὶ Ἀγαθοδώρῳ, τριάδι στεφηφόρῳ.

Θεοτοκίον.

Ἵλεων ἀπέργασαι, Παρθένε, ἡμῖν τοῖς διηνεκῶς Σε μακαρίζουσιν, ὡς τοῦ Πανοικτίρμονος, καὶ Παντελεήμονος, Μητέρα εὐσυμπάθητον, Υἱοῦ τοῦ Κτίσαντος, Αὐτὸν τὸν καθ’ ἑκάστην πλουσίως, νέμοντα ἀνθρώποις, ἰσχύν, χαρὰν καὶ ῥῶσιν.

Ὠδὴ θ΄. Ἅπας γηγενής.

Νίκης κατ’ ἐχθρῶν, σεβόντων τὰ εἴδωλα, εἴληφας στέφανον, ἐν χειρῶν Νυμφίου σου, τοῦ οὐρανίου, στεῤῥὰ μεγάλαθλε, Ἀγαθονίκη πάγκαλε, ἡ νῦν συγχαίρουσα, θείῳ Κάρπῳ, καὶ Παπύλῳ, ἔνδοξε,ἅμα Ἀγαθοδώρῳ ἀλκίφρονι.

Ὄλβος τιμαλφὴς, Χριστοῦ θείας πίστεως, καὶ ἀδιάσειστος,στῦλος ἀγαθότητος, ἐπώφθης, Μάρτυς, ἡ νίκης σύμβολα, ἐν ταῖς παλάμαις φέρουσα, καὶ Κτίστῃ σπεύδουσα, ὑπαντῆσαι, σὲ τῷ ἁγιάσαντι, σθένους, Ἀγαθονίκη, ὡς ἔκτυπον.

Σὲ Περγαμηνῶν, χοροὶ μακαρίζομεν, καὶ μεγαλύνομεν,φιλεόρτων τάγματα, Ἀγαθονίκη, αὐτῶν

ὡς καύχημα, καὶ σέμνωμα περίδοξον, ὅτι ἐφοίνιξας, αὐτῶν χθόνα, τὴν πατρῴαν ῥεύμασι, σῶν πανάγνων αἱμάτων, καλλίνικε.

Θεοτοκίον.

Χάριτος πηγὴ, σεπτοῦ ἁγιάσματος, Θεογεννήτρια, δὸς πιεῖν τοῖς δούλοις Σου, Σῆς προστασίας, καὶ ἀντιλήψεως, σωτηριώδη νάματα, τοῖς μεγαλύνουσι, θεῖον πλῆθος, Μῆτερ, θαυμασίων σου,καὶ πρὸς πάντας ἡμᾶς σὴν συμπάθειαν.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Ἀγαθονίκη πάνσεμνε, τῆς ἀριστείας πρότυπον, Ἀγαθοδώρου ἐνδόξου, καὶ τοῦ Παπύλου καὶ Κάρπου, ὁμόζηλε καὶ σύναθλε,ἀποτομὴν ὑπέμεινας, σῆς κεφαλῆς καὶ ἤνεγκας, αὐτὴν ὡς δῶρον Νυμφίῳ, τῷ οὐρανίῳ σου, Μάρτυς.

Θεοτοκίον.

Μαρτύρων ἀγαλλίαμα, Χριστιανῶν βοήθεια, Θεογεννῆτορ Παρθένε, τὸν Σὸν Υἱὸν ἐκδυσώπει, ὑπὲρ τῶν προστρεχόντων Σοικαὶ πίστει ἀνυμνούντων Σε, ὡς παρθενίας σκήνωμα, καὶ σταθηρὰν βακτηρίαν, τῶν κλονουμένων ἐν βίῳ.

Εἰς τοὺς Αἴνους ἱστῶμεν στίχους δ᾿ καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος πλ. δ᾿. Ὢ τοῦ παραδόξου θαύματος!

Μάρτυς τοῦ Χριστοῦ περίδοξε, Ἀγαθονίκη, φανὸς, εὐσεβείας ὑπέρφωτος, καὶ ἀστὴρ φανότατος, ἀριστείας ἐν σκάμμασι, σταδίου ὤφθης, εἰδώλων ζόφωσιν, τῶν ἀναισθήτων, ἡ διαλύσασα, φέγγει ἐνστάσεως, σῆς στεῤῥᾶς, ἀοίδιμε, καὶ ἀστραπαῖς, πόνων μαρτυρίου σου, τῶν ὑπὲρ ἔννοιαν.

Χαῖρε, εὐσταλὲς μεγάλαθλε, Ἀγαθονίκη, ἀμνὰς, τοῦ Χριστοῦ παναμώμητε, ἡ λαμπρῶς ἀθλήσασα, σὺν χορείᾳ συνάθλων σου,Ἀγαθοδώρῳ, τῷ οὐρανόφρονι, σεπτῷ Παπύλῳ, τῷ αὐταδέλφῳ σου, καὶ Ἀρχιποίμενι, Θυατείρων, πάντιμε, Κάρπῳ σεπτῷ, μεθ᾿ ὧν χαίρεις πάντοτε, ἐν πόλου δώμασι.

Χαίροις, φάρε τετραπύρσευτε, θεολαμπῶν ἀθλητῶν, ὁ φωτίσας τὰ σύμπαντα, τοῖς λαμπροῖς πυρσεύμασιν, εὐκλεοῦς μαρτυρίου σου, Ἀγαθονίκη, Κάρπε Ἐπίσκοπε, τῶν Θυατείρων, καὶ Ἀγαθόδωρε, ἅμα πανάριστε, ἀθλοφόρε Πάπυλε, τῶν ἰατρῶν, τιμαλφὲς ὡράϊσμα, καὶ ἀγαλλίαμα.

Μνήμην τὴν σεπτήν σου ἄγοντες, Ἀγαθονίκη σεμνή,χριστωνύμων οἱ σύλλογοι, εὐλαβῶς βοῶμέν σοι· Καλλιμάρτυς πανάριστε, μὴ διαλείπῃς, Χριστῷ πρεσβεύουσα, τῷ σῷ Νυμφίῳ,ὑπὲρ προσφύγων σου, σὺν τοῖς συνάθλοις σου, μεθ᾿ ὧν εἰς σκηνώματα

τῶν οὐρανῶν, ἀπολαύεις κρείττονος, εὐκλείας πάντοτε.

Δόξα. Ἦχος πλ. α'.

Δεῦτε, τὴν συναθλήσασαν Κάρπῳ, Παπύλῳ καὶ Ἀγαθοδώρῳ,εὐκλεῆ καλλιμάρτυρα, Ἀγαθονίκην τὴν πάνσεμνον, ὡς νύμφην Χριστοῦ εὐπρεπεστάτην εὐφημήσωμεν, ἐν κατανύξει λέγοντες· ἡ ἐν ἁπαλῷ σαρκίῳ ἀνδρικὸν κρύπτουσα φρόνημα, καὶ σὸν βίον σφραγίσασα μαρτυρίου αἵμασιν, ἀξίωσον καὶ ἡμᾶς ἀγαθοῖς ἔργοις σφραγίσαι τὸν βίον, καὶ νίκης λαβεῖν οὐρανόθεν ἀμαράντινον στέφανον.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν Σε, Θεοτόκε Παρθένε,...

Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.

Μεγαλυνάριον.

Σύναθλον καὶ ὅμαιμον ἰατροῦ, μέλψωμεν Παπύλου, σὺν τῷ Κάρπῳ τῷ ἱερῷ, καὶ Ἀγαθοδώρῳ, ἀθλήσασαν ἀνδρείως, στεῤῥὰν Ἀγαθονίκην, τὴν γενναιόφρονα.

Τρισσεῦον Κύριε Ἐλέησον Λιτῆς Ἁγίου Ὄρους.

Σαῖς, Ἀγαθονίκη, νῦν* σπεύδω παρακλήσεσι* Μάρτυς, πρὸς τὸν Ὕψιστον.

Τρίστιχον.

*Δαμασκηνοῦ σεμνοῦ ὀτρύνσει ᾖσεν*
*Ἀγαθονίκην πάγκαλον Χαραλάμπης.*